# ΕΥΡΙΠΙΔΟΥ

## ΑΠΟΣΠΑΣΜΑΤΙΑ.

(Ex recensione A. Matthiæ.)

### ΑΙΓΕΥΣ.

1

SCHOL. Aristoph. Av. 494. ἐς δεκάτην γάρ ποτε: ὅτι τὴν δεκάτην εἱστίων ἐπὶ τοῖς γεννηθεῖσι καὶ ἐν αὐτῇ τὰ ὀνόματα ἐτίθεντο τοῖς παισὶ, καθάπερ Εὐριπίδης ἐν Αἰγεῖ "Τί σε μᾶτερ ἐν δεκάτᾳ τόκον ὠνόμαζεν." Suidas v. δεκατεύειν, τίς σε μάτερ ἐν δεκάτᾳ τοῦ τόκου ὠνόμαζεν. Elmsleius ad Medeam p. 66. τίς σε μάτηρ ἐν δεκάτᾳ τόκον ὠνόμασε.

2

Clem. Alex. Strom. VI. p. 742, 18.

Ποίαν σε φῶμεν γαῖαν ἐκλελοιπότα<br>
πόλει ξενοῦσθαι; γῆ δὲ τίς πάτρας θ' ὅρος;<br>
τίς ἐσθ' ὁ φύσας; τοῦ κεκήρυξαι πατρός;

3

Stobæus 38. p. 226. Gesn.

Τί γὰρ πατρῴας ἀνδρὶ φίλτερον χθονός;

4

Stobæus 45. p. 322.

Ἀνδρὸς δ' ὑπ' ἐσθλοῦ καὶ τυραννεῖσθαι καλόν.

5

Stobæus 7. p. 86.

Ἔστι καὶ πταίσαντ' ἀρετὰν<br>
ἀποδείξασθαι θανάτῳ.

6

Stobæus 117. p. 599.

Κατθανεῖν δ' ὀφείλεται<br>
καὶ τῷ κατ' οἴκους ἐκτὸς ἡμένῳ πόνων.